26/04/2026

Το Ευαγγελικό Ανάγνωσμα της Κυριακής των Μυροφόρων

/ Ορθόδοξες Προβολές



Το Ευαγγελικό Ανάγνωσμα της Κυριακής των Μυροφόρων: Μάρκ. ιε΄ 43 – ις΄ 8 (26-4-2026)

Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, εὐσχήμων βουλευτής, ὃς καὶ αὐτὸς ἦν προσδεχόμενος τὴν βασιλείαν τοῦ Θεοῦ, τολμήσας εἰσῆλθε πρὸς Πιλᾶτον, καὶ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. Ὁ δὲ Πιλᾶτος ἐθαύμασεν, εἰ ἤδη τέθνηκε· καὶ προσκαλεσάμενος τὸν κεντυρίωνα, ἐπηρώτησεν αὐτὸν εἰ πάλαι ἀπέθανε. Καὶ γνοὺς ἀπὸ τοῦ κεντυρίωνος, ἐδωρήσατο τὸ σῶμα τῷ Ἰωσήφ. Καὶ ἀγοράσας σινδόνα, καὶ καθελὼν αὐτόν, ἐνείλησε τῇ σινδόνι, καὶ κατέθηκεν αὐτὸν ἐν μνημείῳ ὃ ἦν λελατομημένον ἐκ πέτρας, καὶ προσεκύλισε λίθον ἐπὶ τὴν θύραν τοῦ μνημείου. Ἡ δὲ Μαρία ἡ Μαγδαληνή, καὶ Μαρία Ἰωσῆ ἐθεώρουν ποῦ τίθεται. Καὶ διαγενομένου τοῦ Σαββάτου, Μαρία ἡ Μαγδαληνή, καὶ Μαρία ἡ τοῦ Ἰακώβου, καὶ Σαλώμη, ἠγόρασαν ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσιν αὐτόν. Καὶ λίαν πρωῒ τῆς μιᾶς Σαββάτων, ἔρχονται ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ ἡλίου· καὶ ἔλεγον πρὸς ἑαυτάς· Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου; Καὶ ἀναβλέψασαι θεωροῦσιν, ὅτι ἀποκεκύλισται ὁ λίθος· ἦν γὰρ μέγας σφόδρα. Καὶ

εἰσελθοῦσαι εἰς τὸ μνημεῖον, εἶδον νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς, περιβεβλημένον στολὴν λευκήν· καὶ ἐξεθαμβήθησαν. Ὁ δὲ λέγει αὐταῖς· Μὴ ἐκθαμβεῖσθε· Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον· ἠγέρθη, οὐκ ἔστιν ὧδε· ἴδε, ὁ τόπος ὅπου ἔθηκαν αὐτόν. Ἀλλ᾽ ὑπάγετε, εἴπατε τοῖς Μαθηταῖς αὐτοῦ καὶ τῷ Πέτρῳ, ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν. Καὶ ἐξελθοῦσαι ταχύ, ἔφυγον ἀπὸ τοῦ μνημείου· εἶχε δὲ αὐτὰς τρόμος καὶ ἔκστασις, καὶ οὐδενὶ οὐδὲν εἶπον· ἐφοβοῦντο γάρ.

Απόδοση σε νεοελληνική το Ευαγγελικό Ανάγνωσμα της Κυριακής των Μυροφόρων

Τόν καιρό ἐκεῖνο, ἦλθε ὁ Ἰωσήφ πού καταγόταν ἀπό τήν Ἀριμαθαία, σημαντικό μέλος τοῦ Συνεδρίου, πού καί αὐτός ἀνέμενε τή βασιλεία τοῦ Θεοῦ, ὁ ὁποῖος τόλμησε καί πῆγε στόν Πιλάτο καί ζήτησε τό σῶμα τοῦ Ἰησοῦ. Ὁ Πιλάτος ἐξεπλάγη πού εἶχε ἤδη πεθάνει. Καί ἀφοῦ κάλεσε τόν ἑκατόνταρχο, τόν ρώτησε ἄν εἶχε πεθάνει πρό πολλῆς ὥρας. Ὅταν πληροφορήθηκε ἀπό τόν ἑκατόνταρχο, παραχώρησε τό σῶμα στόν Ἰωσήφ, ὁ ὁποῖος, ἀφοῦ ἀγόρασε ἕνα σεντόνι καί τόν κατέβασε (ἀπό τόν σταυρό), τόν τύλιξε στό σεντόνι καί τόν τοποθέτησε σέ ἕνα μνημεῖο, πού ἦταν σκαλισμένο σέ βράχο, καί κύλησε ἕναν λίθο στήν εἴσοδο τοῦ μνημείου. Ἡ Μαρία ἡ Μαγδαληνή καί ἡ Μαρία ἡ μητέρα τοῦ Ἰωσῆ παρακολουθοῦσαν ποῦ τόν ἔβαλαν. Ὅταν πέρασε τό Σάββατο, ἡ Μαρία ἡ Μαγδαληνή καί ἡ Μαρία ἡ μητέρα τοῦ Ἰακώβου καί ἡ Σαλώμη ἀγόρασαν ἀρώματα γιά νά πᾶνε καί νά τόν ἀλείψουν. Πολύ πρωί, τήν πρώτη ἡμέρα τῆς ἑβδομάδας (μετά τό Σάββατο), ἔρχονται στό μνημεῖο μόλις εἶχε ἀνατείλει ὁ ἥλιος. Καί ἔλεγαν μεταξύ τους: Ποιός θά μᾶς κυλήσει τόν λίθο ἀπό τήν εἴσοδο τοῦ μνημείου; Ὅταν ὅμως κοίταξαν καλά, βλέπουν ὅτι ὁ λίθος εἶχε κυλισθεῖ. Ἦταν πολύ μεγάλος. Καί ὅταν μπῆκαν στό μνημεῖο, εἶδαν ἕναν νεαρό πού καθόταν πρός τά δεξιά καί ἦταν ντυμένος μέ λευκή στολή, καί τρόμαξαν. Αὐτός τούς εἶπε: Μήν τρομάζετε. Ζητᾶτε τόν Ἰησοῦ τόν Ναζαρηνό τόν ἐσταυρωμένο; Ἀναστήθηκε, δέν εἶναι ἐδῶ. Νά, ὁ τόπος ὅπου τόν ἔβαλαν. Πηγαίνετε νά πεῖτε στούς μαθητές του καί στόν Πέτρο ὅτι θά μεταβεῖ πρίν ἀπό ἐσᾶς στή Γαλιλαία· ἐκεῖ θά τόν συναντήσετε, ὅπως σᾶς τό εἶπε. Καί ἀφοῦ βγῆκαν ἔξω, ἔφυγαν ἀπό τό μνημεῖο. Τίς εἶχε καταλάβει τρόμος καί ἔκπληξη, καί δέν εἶπαν τίποτε σέ κανέναν· γιατί φοβοῦνταν.

(Ἡ Καινή Διαθήκη, τό πρωτότυπο κείμενο μέ νεοελληνική ἀπόδοση τοῦ ὁμοτ. καθηγ. Χρ. Βούλγαρη, ἔκδ. ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ)